τί κλαίεις; τὸν ἄτεγκτον ὅτ᾽ ἐν κόλποισιν Ἔρωτα
  ἔτρεφες, οὐκ ᾔδεις ὡς ἐπὶ σοὶ τρέφετο;
οὐκ ᾔδεις; νῦν γνῶθι καλῶν ἄλλαγμα τροφείων,
  πῦρ ἅμα καὶ ψυχρὰν δεξαμένη χιόνα.
αὐτὴ ταῦθ᾽ εἵλου· φέρε τὸν πόνον· ἄξια πάσχεις
  ὧν ἔδρας, ὀπτῷ καιομένη μέλιτι.

## XXIII

ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον,
  ναὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην,
ναὶ πάλιν Ἰλιάδος φίλα παίγνια, ναὶ φιλάγρυπνον
  λύχνον ἐμῶν κώμων πόλλ᾽ ἐπιδόντα τέλη·
βαιὸν ἔχω τό γε λειφθέν, Ἔρως, ἐπὶ χείλεσι πνεῦμα·
  εἰ δ᾽ ἐθέλεις καὶ τοῦτ᾽, εἰπὲ καὶ ἐκπτύσομαι.

## XXIV

οὐ πλόκαμον Τιμοῦς, οὐ σάνδαλον Ἡλιοδώρας,
  οὐ τὸ μυρόρραντον Δημαρίου πρόθυρον,
οὐ τρυφερὸν μείδημα βοώπιδος Ἀντικλείας,
  οὐ τοὺς ἀρτιθαλεῖς Δωροθέας στεφάνους,
οὐκέτι σοὶ φαρέτρη ⟨ ⟩ πτερόεντας ὀιστούς
  κρύπτει, Ἔρως· ἐν ἐμοὶ πάντα γάρ ἐστι βέλη.